A

## ΑΝΤΕΠΙΡΡΗΜΑ ἐκ στίχων ις'.

Τετράμετροι τροχαϊκοί.

Φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις εἰς λόγον,
Καὶ μίαν λέξαι τιν' αὐτῶν ἥτις ἦν γεραιτέρα.
Οὐδὲ πυνθάνεσθε ταῦτ' ὦ παρθένοι τἀν τῇ πόλει;
Φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καρχηδόνα.
Ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον.
Ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο, κοὐκ ἀνασχετόν.
Καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει.
Ἀποτρόπαι'. οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ'. ἀλλ' ἐάν με χρῇ
Ὑπὸ τερηδόνων σαπεῖσ', ἐνταῦθα καταγηράσομαι.
Οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ' ὦ θεοί,
Εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπιγνύμην.
Εἰ δ' ἀρέσκοι ταῦτ' Ἀθηναίοισι, καθῆσθαί μοι δοκῶ
Εἰς τὸ Θησεῖον πλεούσας, ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
Οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει.
Ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας εἰ βούλεται.
Τὰς σκάφας ἐν αἷς ἐπώλει τοὺς λύχνους καθελκύσας.

## ANTEPIRRHEMA.

*Septenarij Trochaici.*

*Aiunt conuenisse triremes in colloquium mutuum,*
*Et dixisse quandam ex ipsis, quæ natu maiuscula:*
B *Annon auditis, quæ in vrbe nunc fiant, vos virgines?*
*Nam dicunt aliquem, centum è vobis, petere Carthaginem*
*Vsque: pessimum ciuem, vappam, peruersum Hyperbolum.*
*Sed puellis hoc graue esse factu & intolerabile,*
C *Vnamq́ harum dicere, quæ viros propè nunquam adiuerit:*
*Dî meliora, haudquaquam isthic mihi vnquam prædominabitur.*
*Sed si oportet: consenescam hic corrosa ore teredinum.*
*At ne Nauphantes quidem Nausonis imperitet mihi:*
D *Si modo ego etiam è lignis, & picea bene compacta sum.*
*Quòd si isthæc Atheniensibus placent, videor mihi*
*Considere nauigantibus in Theseum, aut ad focos Eumenidum.*
*Nec enim nobis imperitando, vrbi illuserit.*
*Verùm age solus ipse nauiget in malam rem, si lubet:*
E *Et scaphas, in quîs lucernas vendebat, secum trahat.*

Σχόλια. Φασὶν ἀλλήλαις.] σωματοποιεῖ τὰς τριήρεις. Οὐδὲ πυνθάνεσθε.] οὐδὲ αἰσθάνεσθε. τὸ γὰρ πυνθάνομαι παρὰ τοῖς ῥήτορσι καὶ παρ' Ὁμήρῳ ἐπὶ τοῦ ἀκούειν καὶ μανθάνειν. ὡς τὸ αἰσχρὸν γὰρ τόδε γ' ἐστὶ καὶ ἐσσομένοισι πυθέσθαι. καὶ πεύθετο γὰρ Κύπρονδε μέγα κλέος. καὶ πευθόμενος ἧχι ἕκαστος ἀπώλετο. καὶ κείνου γὰρ καὶ ὄλεθρον ἀπευθέα θῆκε Κρονίων. ἐν γὰρ τούτοις ἅπασιν ἐπὶ F τοῦ ἀκούειν κεῖται τὸ πυνθάνεσθαι. καὶ Αἰσχίνης ἐν τῷ περὶ τῆς παραπρεσβείας, τούτῳ συμβαλεῖν πυνθανόμενος. καὶ Δείναρχος ἐν τῷ κατὰ Φιλοκλέους. εὐτυχεῖτε ὅτι οὐκ ἐν μείζονι καιρῷ ἐπύθεσθε τὴν αὐτοῦ αἰσχροκέρδειαν. ὁ στίχος δὲ παρὰ τὰ ἐξ Ἀλκμαίωνος Εὐριπίδου. τὰς μηδέπω δὲ πλευσάσας, παρθένους εἴρηκεν. τὰς δὲ πλευσάσας, γραίας. Καρχηδὼν δὲ πόλις Θρᾴκης περὶ τὸ Βυζάντιον. Ὀξίνην.] ὀξίδες αἱ καλούμεναι ὀξυβάφια. λυχνοποιὸς δὲ ὁ Ὑπέρβολος. τινὲς δὲ τὰ κεράμεα ἅ ἐστιν ὄξους δεκτικά. κεραμεὺς δὲ ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν ἀποβολὴν τοῦ Κλέωνος, εὐθέως ὑπερέβαλλεν ὑπὲρ τοῦ Ὑπερβόλου. μετ' αὐτὸν γὰρ ἐπολιτεύσατο. Ἥτις ἀνδρῶν.] ἥτις ἦν οὔπω δεδομένη τριηράρχῳ, μηδὲ πλεύσασα, ἀλλὰ νεωστὶ κατασκευασθεῖσα. ἣν ἄνω εἶπε παρθένον. Ὑπὸ τερηδόνων.] σηπεδόνων. ἢ σκωλήκων. Οὐδὲ Ναυφάντης.] πεποίηται ταῦτα τὰ ὀνόματα παρὰ τὴν ναῦν. ἀπὸ κοινοῦ δὲ τὸ ἄρξει. Εἴπερ ἐκ πεύκης γε κἀγώ.] ὡσανεὶ ἔλεγεν, εἴπερ ἐξ ἀνθρώπων εἰμὶ κἀγώ. οὐχ ἁπλῶς δέ, ἀλλ' ὅτι εἰ χολὴν ἔχω. ἀπὸ τούτου τὸ πευκεδανόν. Εἰς τὸ Θησεῖον.] ἐνταῦθα οἱ καταφεύγοντες τῶν οἰκετῶν, ἀσυλίαν εἶχον. Ἐπὶ τῶν σεμνῶν.] εἰς τὸ τῶν Ἐριννύων ἱερόν. καὶ ἐνταῦθα δὲ οἱ οἰκέται ἔφευγον. Ἐγχανεῖται.] καταπλύσειεν. ἐνυβρίσειεν. σκάφας δὲ τὰ ξύλινα ἀγγεῖα. πάλιν δὲ ὡς λυχνοπώλην αὐτὸν διαβάλλει.

G

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΕΜΠΤΟΥ, Σκηνὴ πρώτη.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, ΧΟΡΟΣ.

## ACTVS V. SCENA prima.

AGORACRITVS, CHORVS.

BISE-